# ΠΕΤΡΟΥ Β

1 *Συμεὼν Πέτρος, δοῦλος καὶ ἀπόστολος
Ἰησοῦ Χριστοῦ, τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι
πίστιν ἐν δικαιοσύνῃ τοῦ Θεοῦ ἡμῶν καὶ
†σωτῆρος Ἰησοῦ Χριστοῦ· 2 χάρις ὑμῖν καὶ
εἰρήνη πληθυνθείη ἐν ἐπιγνώσει τοῦ Θεοῦ,
καὶ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν· 3 ὡς πάντα
ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ πρὸς
ζωὴν καὶ εὐσέβειαν δεδωρημένης, διὰ τῆς
ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς ‡διὰ δόξης
καὶ ἀρετῆς· 4 δι’ ὧν τὰ §τίμια ἡμῖν καὶ μέγιστα
ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων
γένησθε θείας κοινωνοὶ φύσεως, ἀποφυγόντες
τῆς ἐν *κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς. 5 Καὶ αὐτὸ
†τοῦτο δέ, σπουδὴν πᾶσαν παρεισενέγκαντες,
ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν,
ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, 6 ἐν δὲ τῇ γνώσει
τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν
ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν,
7 ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ
τῇ φιλαδελφίᾳ τὴν ἀγάπην. 8 Ταῦτα γὰρ
ὑμῖν ὑπάρχοντα καὶ πλεονάζοντα, οὐκ ἀργοὺς

---

* **1:1** συμεων ¦ σιμων SCR WH † **1:1** σωτηρος ¦ σωτηρος ημων SCR ‡ **1:3** δια δοξης και αρετης ¦ ιδια δοξη και αρετη ECM NA SBL TH § **1:4** τιμια ημιν και μεγιστα 75.8% ¦ τιμια και μεγιστα ημιν ECM† NA SBL WH 5.9% ¦ μεγιστα ημιν και τιμια TR 1% * **1:4** κοσμω ¦ τω κοσμω ECM† NA SBL TH WH † **1:5** τουτο δε ¦ δε τουτο ECM* PCK

οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ Κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν. 9 ᾯ γὰρ
μὴ πάρεστι ταῦτα, τυφλός ἐστι, μυωπάζων,
λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι
αὐτοῦ ‡ἁμαρτιῶν. 10 Διὸ μᾶλλον, ἀδελφοί,
σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ
ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ
μὴ πταίσητέ ποτε· 11 οὕτω γὰρ πλουσίως
ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν
αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ
σωτῆρος Ἰησοῦ Χριστοῦ.

12 Διὸ §οὐκ ἀμελήσω *ἀεὶ ὑμᾶς
ὑπομιμνῄσκειν περὶ τούτων, καίπερ εἰδότας,
καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ.
13 Δίκαιον δὲ ἡγοῦμαι, ἐφ᾽ ὅσον εἰμὶ ἐν τούτῳ
τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει·
14 εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ
σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν
Ἰησοῦς Χριστὸς ἐδήλωσέ μοι. 15 Σπουδάσω
δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν
ἔξοδον τὴν τούτων μνήμην ποιεῖσθαι.

16 Οὐ γὰρ σεσοφισμένοις μύθοις
ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν
καὶ παρουσίαν, ἀλλ᾽ ἐπόπται γενηθέντες
τῆς ἐκείνου μεγαλειότητος. 17 Λαβὼν
γὰρ παρὰ Θεοῦ πατρὸς τιμὴν καὶ δόξαν,
φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς

---

‡ **1:9** αμαρτιων ¦ αμαρτηματων ECM* SBL § **1:12** ουκ αμελησω 95.2% ¦ μελλησω CT 2.8% * **1:12** αει υμας ¦ υμας αει TR

μεγαλοπρεποῦς δόξης, †Οὗτός ἐστιν ὁ υἱός
μου ὁ ἀγαπητός, εἰς ὃν ἐγὼ εὐδόκησα·
18 καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν
ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ
‡ὄρει τῷ ἁγίῳ. 19 Καὶ ἔχομεν βεβαιότερον
τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε
προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ
τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος
ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν· 20 τοῦτο
πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφητεία
γραφῆς ἰδίας ἐπιλύσεως οὐ γίνεται. 21 Οὐ γὰρ
θελήματι ἀνθρώπου ἠνέχθη §ποτὲ προφητεία,
*ἀλλ᾽ ὑπὸ Πνεύματος Ἁγίου φερόμενοι
ἐλάλησαν †ἅγιοι Θεοῦ ἄνθρωποι.

# 2

1 Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται
ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν ἔσονται
ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν
αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα
αὐτοὺς δεσπότην ἀρνούμενοι, ἐπάγοντες
ἑαυτοῖς ταχινὴν ἀπώλειαν. 2 Καὶ
πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς
*ἀσελγείαις, δι᾽ †οὓς ἡ ὁδὸς τῆς ἀληθείας
βλασφημηθήσεται. 3 Καὶ ἐν πλεονεξίᾳ

---

† **1:17** ουτος εστιν ο υιος μου ο αγαπητος 97.6% ¦ ο υιος μου ο αγαπητος μου ουτος εστιν ECM NA SBL WH 0.4% ‡ **1:18** ορει τω αγιω 97.4% ¦ αγιω ορει ECM NA SBL WH 2.4% § **1:21** ποτε προφητεια ¦ προφητεια ποτε ECM† NA SBL TH WH * **1:21** αλλ ¦ αλλα NA27 SBL TH WH † **1:21** αγιοι 83.5% ¦ απο CT 5.6% ¦ οι αγιοι ST 4.4% * **2:2** ασελγειαις ¦ απωλειαις TR † **2:2** ους ¦ ας PCK

πλαστοῖς λόγοις ὑμᾶς ἐμπορεύσονται· οἷς τὸ κρίμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ ‡νυστάξει.
4 Εἰ γὰρ ὁ Θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ §σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν *τηρουμένους· 5 καὶ
ἀρχαίου κόσμου οὐκ ἐφείσατο, †ἀλλὰ ὄγδοον Νῶε δικαιοσύνης κήρυκα ἐφύλαξε, κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας· 6 καὶ
πόλεις Σοδόμων καὶ Γομόρρας τεφρώσας ‡καταστροφῇ κατέκρινεν, ὑπόδειγμα μελλόντων §ἀσεβεῖν τεθεικώς· 7 καὶ δίκαιον
Λώτ, καταπονούμενον ὑπὸ τῆς τῶν ἀθέσμων ἐν ἀσελγείᾳ ἀναστροφῆς, *ἐρρύσατο·
8 βλέμματι γὰρ καὶ ἀκοῇ †ὁ δίκαιος, ‡ἐγκατοικῶν ἐν αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν ἀνόμοις ἔργοις ἐβασάνιζεν·
9 οἶδε Κύριος εὐσεβεῖς ἐκ §πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν· 10 μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς
ἐν ἐπιθυμίᾳ μιασμοῦ πορευομένους, καὶ κυριότητος καταφρονοῦντας.
Τολμηταί, αὐθάδεις, δόξας οὐ τρέμουσι βλασφημοῦντες· 11 ὅπου ἄγγελοι, ἰσχύϊ

---

‡ 2:3 νυσταξει ¦ νυσταζει ECM† NA SBL TH TR WH § 2:4 σειραις ¦ σειροις TH WH * 2:4 τηρουμενους ¦ τετηρημενους TR † 2:5 αλλα ¦ αλλ BYZ ECM HF NA28 PCK TR ‡ 2:6 καταστροφη ¦ — WH § 2:6 ασεβειν ¦ ασεβεσιν NA27 SBL WH * 2:7 ερρυσατο ¦ ερυσατο TH WH † 2:8 ο ¦ — WH ‡ 2:8 εγκατοικων ¦ ενκατοικων TH WH § 2:9 πειρασμου ¦ πειρασμων PCK SCR

καὶ δυνάμει μείζονες ὄντες, οὐ φέρουσι
κατ᾿ αὐτῶν *παρὰ Κυρίῳ βλάσφημον
κρίσιν. 12 Οὗτοι δέ, ὡς ἄλογα ζῷα †φυσικὰ
γεγενημένα εἰς ἅλωσιν καὶ φθοράν, ἐν οἷς
ἀγνοοῦσι βλασφημοῦντες, ἐν τῇ φθορᾷ αὐτῶν
‡καταφθαρήσονται, 13 §κομιούμενοι μισθὸν
ἀδικίας, ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ
τρυφήν, σπίλοι καὶ μῶμοι, ἐντρυφῶντες ἐν
ταῖς ἀπάταις αὐτῶν συνευωχούμενοι ὑμῖν,
14 ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος
καὶ *ἀκαταπαύστους ἁμαρτίας, δελεάζοντες
ψυχὰς ἀστηρίκτους, καρδίαν γεγυμνασμένην
†πλεονεξίας ἔχοντες, κατάρας τέκνα·
15 ‡καταλιπόντες §εὐθεῖαν ὁδὸν ἐπλανήθησαν,
ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ
τοῦ *Βοσόρ, ὃς μισθὸν ἀδικίας ἠγάπησεν,
16 ἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας·
ὑποζύγιον ἄφωνον, ἐν ἀνθρώπου φωνῇ
φθεγξάμενον, ἐκώλυσε τὴν τοῦ προφήτου
παραφρονίαν.
17 Οὗτοί εἰσι πηγαὶ ἄνυδροι, †νεφέλαι ὑπὸ

---

* **2:11** παρα κυριω ¦ παρα κυριου NA27 ¦ — ECM* SBL † **2:12** φυσικα γεγενημενα ¦ γεγενημενα φυσικα PCK ¦ γεγεννημενα φυσικα CT ‡ **2:12** καταφθαρησονται ¦ και καταφθαρησονται HF ¦ και φθαρησονται CT § **2:13** κομιουμενοι 97.6% ¦ αδικουμενοι ECM NA SBL WH 2% * **2:14** ακαταπαυστους ¦ ακαταπαστους WH † **2:14** πλεονεξιας ¦ πλεονεξιαις TR ‡ **2:15** καταλιποντες ¦ καταλειποντες NA27 TH WH § **2:15** ευθειαν ¦ την ευθειαν TR * **2:15** βοσορ ¦ βεωρ WH † **2:17** νεφελαι υπο … σκοτους εις αιωνα 58.9% ¦ νεφελαι υπο … σκοτους εις αιωνας PCK 22.8% ¦ και ομιχλαι υπο … σκοτους CT 1%

λαίλαπος ἐλαυνόμεναι, οἷς ὁ ζόφος τοῦ
σκότους εἰς αἰῶνα τετήρηται. 18 Ὑπέρογκα
γὰρ ματαιότητος φθεγγόμενοι, δελεάζουσιν
ἐν ἐπιθυμίαις σαρκός, ‡ἀσελγείαις, τοὺς
§ὄντως *ἀποφυγόντας τοὺς ἐν πλάνῃ
ἀναστρεφομένους, 19 ἐλευθερίαν αὐτοῖς
ἐπαγγελλόμενοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες
τῆς φθορᾶς· ᾧ γάρ τις ἥττηται, τούτῳ †καὶ
δεδούλωται. 20 Εἰ γὰρ ἀποφυγόντες τὰ
μιάσματα τοῦ κόσμου ἐν ἐπιγνώσει τοῦ
‡Κυρίου καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ, τούτοις
δὲ πάλιν ἐμπλακέντες ἡττῶνται, γέγονεν
αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων.
21 Κρεῖττον γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι
τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνοῦσιν
§ἐπιστρέψαι ἐκ τῆς παραδοθείσης αὐτοῖς
ἁγίας ἐντολῆς. 22 Συμβέβηκε *δὲ αὐτοῖς τὸ
τῆς ἀληθοῦς παροιμίας, Κύων ἐπιστρέψας
ἐπὶ τὸ ἴδιον ἐξέραμα, καὶ ὗς λουσαμένη εἰς
†κύλισμα βορβόρου.

# 3

1 Ταύτην ἤδη, ἀγαπητοί, δευτέραν ὑμῖν
γράφω ἐπιστολήν, ἐν αἷς διεγείρω ὑμῶν
ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν,

---

‡ **2:18** ασελγειαις ¦ ασελγειας PCK ¦ εν ασελγειαις SCR § **2:18** οντως ¦ ολιγως NA27 SBL WH * **2:18** αποφυγοντας ¦ αποφευγοντας CT † **2:19** και ¦ — ECM NA TH WH ‡ **2:20** κυριου 74.1% ¦ κυριου ημων NA27 14.7% § **2:21** επιστρεψαι 82.5% ¦ υποστρεψαι CT 4.7% * **2:22** δε ¦ — CT † **2:22** κυλισμα ¦ κυλισμον ECM† NA SBL TH WH

2 μνησθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ
τῶν ἁγίων προφητῶν, καὶ τῆς τῶν ἀποστόλων
*ὑμῶν ἐντολῆς τοῦ Κυρίου καὶ σωτῆρος·
3 τοῦτο πρῶτον γινώσκοντες, ὅτι ἐλεύσονται
ἐπ᾽ †ἐσχάτου τῶν ἡμερῶν ‡ἐμπαῖκται, κατὰ
τὰς ἰδίας §ἐπιθυμίας αὐτῶν πορευόμενοι,
4 καὶ λέγοντες, Ποῦ ἐστὶν ἡ ἐπαγγελία τῆς
παρουσίας αὐτοῦ; Ἀφ᾽ ἧς γὰρ οἱ πατέρες
ἐκοιμήθησαν, πάντα οὕτω διαμένει ἀπ᾽ ἀρχῆς
κτίσεως. 5 Λανθάνει γὰρ αὐτοὺς τοῦτο
θέλοντας, ὅτι οὐρανοὶ ἦσαν ἔκπαλαι, καὶ
γῆ ἐξ ὕδατος καὶ δι᾽ ὕδατος *συνεστῶσα, τῷ
τοῦ Θεοῦ λόγῳ, 6 δι᾽ †ὧν ὁ τότε κόσμος ὕδατι
κατακλυσθεὶς ἀπώλετο· 7 οἱ δὲ νῦν οὐρανοὶ
καὶ ἡ γῆ ‡τῷ αὐτοῦ λόγῳ τεθησαυρισμένοι
εἰσί, πυρὶ τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ
ἀπωλείας τῶν ἀσεβῶν ἀνθρώπων.
8 Ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς,
ἀγαπητοί, ὅτι μία ἡμέρα παρὰ Κυρίῳ ὡς
χίλια ἔτη, καὶ χίλια ἔτη ὡς ἡμέρα μία. 9 Οὐ
βραδύνει §ὁ Κύριος τῆς ἐπαγγελίας, ὥς τινες
βραδυτῆτα ἡγοῦνται· ἀλλὰ μακροθυμεῖ εἰς
*ἡμᾶς, μὴ βουλόμενός τινας ἀπολέσθαι, ἀλλὰ
πάντας εἰς μετάνοιαν χωρῆσαι. 10 Ἥξει δὲ †ἡ

---

* **3:2** υμων ¦ ημων TR † **3:3** εσχατου ¦ εσχατων ANT ECM† NA SBL TH WH ‡ **3:3** εμπαικται ¦ εν εμπαιγμονη εμπαικται CT § **3:3** επιθυμιας αυτων ¦ αυτων επιθυμιας TR * **3:5** συνεστωσα ¦ συνεστωτα PCK † **3:6** ων ¦ ον ECM NA28 ‡ **3:7** τω αυτου ¦ τω αυτω CT SCR ¦ αυτου ST § **3:9** ο ¦ — CT * **3:9** ημας ¦ υμας CT † **3:10** η ¦ — ECM† NA SBL TH WH

ἡμέρα Κυρίου ὡς κλέπτης ‡ἐν νυκτί, ἐν ᾗ §οἱ
οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα
δὲ καυσούμενα *λυθήσονται, καὶ γῆ καὶ τὰ ἐν
αὐτῇ ἔργα †κατακαήσεται.
11 Τούτων ‡οὖν πάντων λυομένων, ποταποὺς
δεῖ ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ
εὐσεβείαις, 12 προσδοκῶντας καὶ σπεύδοντας
τὴν παρουσίαν τῆς τοῦ Θεοῦ ἡμέρας, δι᾽ ἣν
οὐρανοὶ πυρούμενοι λυθήσονται, καὶ στοιχεῖα
καυσούμενα τήκεται; 13 Καινοὺς δὲ οὐρανοὺς
καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ
προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ.
14 Διό, ἀγαπητοί, ταῦτα προσδοκῶντες,
σπουδάσατε ἄσπιλοι καὶ ἀμώμητοι αὐτῷ
εὑρεθῆναι ἐν εἰρήνῃ. 15 Καὶ τὴν τοῦ
Κυρίου ἡμῶν μακροθυμίαν σωτηρίαν ἡγεῖσθε,
καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος
κατὰ τὴν §αὐτῷ δοθεῖσαν σοφίαν ἔγραψεν
ὑμῖν· 16 ὡς καὶ ἐν πάσαις *ταῖς ἐπιστολαῖς,
λαλῶν ἐν αὐταῖς περὶ τούτων· ἐν †οἷς ‡ἔστι
δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι
§στρεβλοῦσιν, ὡς καὶ τὰς λοιπὰς γραφάς,
πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν. 17 Ὑμεῖς οὖν,

---

‡ **3:10** εν νυκτι 87.9% ¦ — CT 12.1% § **3:10** οι ¦ — ANT PCK * **3:10** λυθησονται ¦ λυθησεται CT † **3:10** κατακαησεται 89.6% ¦ ευρεθησεται NA27 SBL TH WH 3.1% ¦ ουχ ευρεθησεται ECM NA28 0% ‡ **3:11** ουν 86% ¦ ουτω ECM NA SBL WH 4.8% § **3:15** αυτω δοθεισαν ¦ δοθεισαν αυτω CT * **3:16** ταις 96.2% ¦ — NA27 TH WH 2.8% † **3:16** οις ¦ αις CT ‡ **3:16** εστι ¦ εισι PCK § **3:16** στρεβλουσιν ¦ στρεβλωσουσιν ECM NA28

ἀγαπητοί, προγινώσκοντες φυλάσσεσθε, ἵνα μή, τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες, ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ.
18 *Αὐξάνετε δὲ ἐν χάριτι καὶ γνώσει τοῦ Κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ. Αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶνος. †Ἀμήν.

---

* **3:18** αυξανετε ¦ αυξανητε PCK † **3:18** αμην 96.8% ¦ — ECM NA28 WH 2.6%

# Η Καινή Διαθήκη
## The New Testament in Ancient Greek with critical text notes

Public Domain

Language: Ελληνιστική (Greek, Ancient)

Translation by: Maurice A. Robinson

Contributor: Robert Adam Boyd

The Text-Critical Greek New Testament is based upon The New Testament in the Original Greek: Byzantine Textform 2018, compiled and arranged by Maurice A. Robinson and William G. Pierpont.
The following disclaimer is printed in the The New Testament in the Original Greek: Byzantine Textform 2018:
Anyone is permitted to copy and distribute this text or any portion of this text. It may be incorporated in a larger work, and/or quoted from, stored in a database retrieval system, photocopied, reprinted, or otherwise duplicated by anyone without prior notification, permission, compensation to the holder, or any other restrictions. All rights to this text are released to everyone and no one can reduce these rights at any time. Copyright is not claimed nor asserted for either the preface, notes, or the new and revised form of the Greek NT text of this edition, nor for the original form of such as initially released into the public domain by the editors, first as printed textual notes in 1979, continuous-text electronic form 1986–present, and in published editions from 1991, 2005, and 2010.
The permitted use or reproduction of the Greek text or other material contained within this volume (whether by print, electronic media, or other form) does not imply doctrinal or theological agreement by the present editors and publisher with whatever views may be maintained or promulgated by other publishers. For the purpose of assigning responsibility, it is requested that the present editors' names and the title associated with this text as well as this disclaimer be retained in any subsequent reproduction of this material.

2022-11-11

---

PDF generated using Haiola and XeLaTeX on 11 Nov 2022 from source files dated 11 Nov 2022
ebdf933b-03a4-5add-853f-51a05e168973